ἐγένετο, εἴπερ ἐγίγνετο, κάλλιστα, ὤκνει ὡς δὴ μανθάνων καὶ ἀκούων
τῶν περὶ φιλοσοφίαν λόγων οἰκειοῦσθαι καὶ ἐμοὶ συγγίγνεσθαι, φοβού- B
μενος τοὺς τῶν διαβαλλόντων λόγους, μή πῃ παραποδισθείη καὶ Δίων
δὴ πάντα εἴη διαπεπραγμένος. ἐγὼ δὲ πάντα ὑπέμενον, τὴν πρώτην διά-
νοιαν φυλάττων ᾗπερ ἀφικόμην, εἴ πως εἰς ἐπιθυμίαν ἔλθοι τῆς φιλοσό-
φου ζωῆς· ὁ δ᾽ ἐνίκησεν ἀντιτείνων.

Καὶ ὁ πρῶτος δὴ χρόνος τῆς εἰς Σικελίαν ἐμῆς ἐπιδημίας τε καὶ δια-
τριβῆς διὰ πάντα ταῦτα ξυνέβη γενόμενος. μετὰ δὲ τοῦτο ἀπεδήμησά τε C
καὶ πάλιν ἀφικόμην πάσῃ σπουδῇ μεταπεμπομένου Διονυσίου· ὧν δὲ
ἕνεκα καὶ ὅσα ἔπραξα, ὡς εἰκότα τε καὶ δίκαια, ὑμῖν πρῶτον μὲν ξυμβου-
λεύσας ἃ χρὴ ποιεῖν ἐκ τῶν νῦν γεγονότων, ὕστερον τὰ περὶ ταῦτα διέξειμι,
τῶν ἐπανερωτώντων ἕνεκα τί δὴ βουλόμενος ἦλθον τὸ δεύτερον, ἵνα μὴ τὰ
πάρεργα ὡς ἔργα μοι ξυμβαίνῃ λεγόμενα. λέγω δὴ τάδε ἐγώ·

Τὸν συμβουλεύοντα ἀνδρὶ κάμνοντι καὶ δίαιταν διαιτωμένῳ μοχθηρὰν
πρὸς ὑγίειαν ἄλλο τι χρὴ πρῶτον μὲν μεταβάλλειν τὸν βίον, καὶ ἐθέλοντι D
μὲν πείθεσθαι καὶ τἆλλα ἤδη παραινεῖν· μὴ ἐθέλοντι δέ, φεύγοντα ἀπὸ
τῆς τοῦ τοιούτου ξυμβουλῆς ἄνδρα τε ἡγοίμην ἂν καὶ ἰατρικόν, τὸν δὲ
ὑπομένοντα τοὐναντίον ἄνανδρόν τε καὶ ἄτεχνον. ταὐτὸν δὴ καὶ πόλει,
εἴτε αὐτῆς εἷς εἴη κύριος εἴτε καὶ πλείους, εἰ μὲν κατὰ τρόπον ὀρθῇ πο-
ρευομένης ὁδῷ τῆς πολιτείας ξυμβουλεύοιτό τι τῶν προσφόρων, νοῦν
ἔχοντος τὸ τοῖς τοιούτοις ξυμβουλεύειν· τοῖς δ᾽ ἔξω τὸ παράπαν βαίνουσι E
τῆς ὀρθῆς πολιτείας καὶ μηδαμῇ ἐθέλουσιν αὐτῆς εἰς ἴχνος ἰέναι, προαγο-
ρεύουσιν δὲ τῷ ξυμβούλῳ τὴν μὲν πολιτείαν ἐᾶν καὶ μὴ κινεῖν, ὡς ἀπο-
θανουμένῳ ἐὰν κινῇ, ταῖς δὲ βουλήσεσιν καὶ ἐπιθυμίαις αὐτῶν ὑπηρετοῦν- 331
τας ξυμβουλεύειν κελεύοιεν, τίνα τρόπον γίγνοιτ᾽ ἂν ῥᾷστά τε καὶ τάχιστα
εἰς τὸν αἰεὶ χρόνον, τὸν μὲν ὑπομένοντα ξυμβουλὰς τοιαύτας ἡγοίμην ἂν
ἄνανδρον, τὸν δ᾽ οὐχ ὑπομένοντα ἄνδρα. ταύτην δὴ τὴν διάνοιαν ἐγὼ κεκτη-
μένος, ὅταν τίς μοι ξυμβουλεύηται περί τινος τῶν μεγίστων περὶ τὸν αὑτοῦ
βίον, οἷον περὶ χρημάτων κτήσεως ἢ περὶ σώματος ἢ ψυχῆς ἐπιμελείας,
ἂν μέν μοι τὸ καθ᾽ ἡμέραν ἔν τινι τρόπῳ δοκῇ ζῆν ἢ συμβουλεύσαντος ἂν B
ἐθέλειν πείθεσθαι περὶ ὧν ἀνακοινοῦται, προθύμως συμβουλεύω καὶ οὐκ